ὁλοκαύτωμα ἢ εἰς θυσίαν, ποιήσεις θυσίαν σεμιδάλεως δύο δέκατα
ἀναπεποιημένης ἐν ἐλαίῳ, τὸ τρίτον τοῦ ιν· [7]καὶ οἶνον εἰς σπον- 7
δὴν τὸ τρίτον τοῦ ιν προσοίσετε εἰς ὀσμὴν εὐωδίας κυρίῳ. [8]ἐὰν 8
δὲ ἀπὸ τῶν βοῶν ποιῆτε εἰς ὁλοκαύτωμα ἢ εἰς θυσίαν μεγαλῦναι
εὐχὴν ἢ εἰς σωτήριον κυρίῳ, [9]καὶ προσοίσει ἐπὶ τοῦ μόσχου θυ- 9
σίαν σεμιδάλεως τρία δέκατα ἀναπεποιημένης ἐν ἐλαίῳ ἥμισυ τοῦ
ιν [10]καὶ οἶνον εἰς σπονδὴν τὸ ἥμισυ τοῦ ιν κάρπωμα ὀσμὴν εὐω- 10
δίας κυρίῳ. [11]οὕτως ποιήσεις τῷ μόσχῳ τῷ ἑνὶ ἢ τῷ κριῷ τῷ 11
ἑνὶ ἢ τῷ ἀμνῷ τῷ ἑνὶ ἐκ τῶν προβάτων ἢ ἐκ τῶν αἰγῶν· [12]κατὰ 12
τὸν ἀριθμὸν ὧν ἐὰν ποιήσητε, οὕτω ποιήσετε τῷ ἑνὶ κατὰ τὸν
ἀριθμὸν αὐτῶν. [13]πᾶς ὁ αὐτόχθων ποιήσει οὕτως τοιαῦτα, προσ- 13
ενέγκαι καρπώματα εἰς ὀσμὴν εὐωδίας κυρίῳ. [14]ἐὰν δὲ προσή- 14
λυτος ἐν ὑμῖν προσγένηται ἐν τῇ γῇ ὑμῶν ἢ ὃς ἂν γένηται ἐν
ὑμῖν ἐν ταῖς γενεαῖς ὑμῶν, καὶ ποιήσει κάρπωμα ὀσμὴν εὐωδίας
κυρίῳ· ὃν τρόπον ποιεῖτε ὑμεῖς, οὕτως ποιήσει ἡ συναγωγὴ κυρίῳ.
[15]νόμος εἷς ἔσται ὑμῖν καὶ τοῖς προσηλύτοις τοῖς προσκειμένοις 15
ἐν ὑμῖν, νόμος αἰώνιος εἰς γενεὰς ὑμῶν· ὡς ὑμεῖς, καὶ ὁ προσή-
λυτος ἔσται ἔναντι κυρίου· [16]νόμος εἷς ἔσται καὶ δικαίωμα ἓν ἔσται 16
ὑμῖν καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ ἐν ὑμῖν.
[17]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [18]Λάλησον τοῖς 17 18
υἱοῖς Ισραηλ καὶ ἐρεῖς πρὸς αὐτούς Ἐν τῷ εἰσπορεύεσθαι ὑμᾶς
εἰς τὴν γῆν, εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, [19]καὶ ἔσται ὅταν ἔσθητε 19
ὑμεῖς ἀπὸ τῶν ἄρτων τῆς γῆς, ἀφελεῖτε ἀφαίρεμα ἀφόρισμα κυρίῳ·
[20]ἀπαρχὴν φυράματος ὑμῶν ἄρτον ἀφαίρεμα ἀφοριεῖτε αὐτό· ὡς 20
ἀφαίρεμα ἀπὸ ἅλω, οὕτως ἀφελεῖτε αὐτόν, [21]ἀπαρχὴν φυράματος 21
ὑμῶν, καὶ δώσετε κυρίῳ ἀφαίρεμα εἰς τὰς γενεὰς ὑμῶν.
[22]Ὅταν δὲ διαμάρτητε καὶ μὴ ποιήσητε πάσας τὰς ἐντολὰς ταύ- 22
τας, ἃς ἐλάλησεν κύριος πρὸς Μωυσῆν, [23]καθὰ συνέταξεν κύριος 23
πρὸς ὑμᾶς ἐν χειρὶ Μωυσῆ ἀπὸ τῆς ἡμέρας, ἧς συνέταξεν κύριος
πρὸς ὑμᾶς, καὶ ἐπέκεινα εἰς τὰς γενεὰς ὑμῶν, [24]καὶ ἔσται ἐὰν ἐξ 24
ὀφθαλμῶν τῆς συναγωγῆς γενηθῇ ἀκουσίως, καὶ ποιήσει πᾶσα ἡ
συναγωγὴ μόσχον ἕνα ἐκ βοῶν ἄμωμον εἰς ὁλοκαύτωμα εἰς ὀσμὴν
εὐωδίας κυρίῳ καὶ θυσίαν τούτου καὶ σπονδὴν αὐτοῦ κατὰ τὴν
σύνταξιν καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας. [25]καὶ ἐξιλάσεται 25
ὁ ἱερεὺς περὶ πάσης συναγωγῆς υἱῶν Ισραηλ, καὶ ἀφεθήσεται αὐ-
τοῖς· ὅτι ἀκούσιόν ἐστιν, καὶ αὐτοὶ ἤνεγκαν τὸ δῶρον αὐτῶν κάρ-

6 θυσιαν $1^0$ ⌒ $2^0$ A† | αναπεποι.] αναπεφυραμενης A: item in 9 || 8 απο των βοων / ποιητε] tr. A | η ult. > B* || 10 init. — ιν > B* || 12 ων] ον A | εαν > A† || 14 η συναγ. (κυρ.) trahit 𝔐 ad 15 || 15 εσται $1^0$ > B$^c$ | γενεας] pr. τας A || 16 υμιν $1^0$ > B*† || 19 κυριω] pr. τω A || 20 απαρχων A† | αλω B†] αλωνος A || 21 απαρχην] αρτον απαρχης A || 23 προς υμας $1^0$] υμιν A || 24 ποιηση B* | συνταξιν] + αυτου A || 25 εξιλασεται] + περι αυτου B*†